11 διὰ τοῦτο, ζῶ ἐγώ, λέγει κύριος, καὶ ποιήσω σοι κατὰ τὴν ἔχθραν 11
σου καὶ γνωσθήσομαί σοι, ἡνίκα ἂν κρίνω σε· 12 καὶ γνώσῃ ὅτι 12
ἐγώ εἰμι κύριος. ἤκουσα τῆς φωνῆς τῶν βλασφημιῶν σου, ὅτι
εἶπας Τὰ ὄρη Ισραηλ ἔρημα, ἡμῖν δέδοται εἰς κατάβρωμα· 13 καὶ 13
ἐμεγαλορημόνησας ἐπ᾽ ἐμὲ τῷ στόματί σου· ἐγὼ ἤκουσα. 14 τάδε 14
λέγει κύριος Ἐν τῇ εὐφροσύνῃ πάσης τῆς γῆς ἔρημον ποιήσω σε·
15 ἔρημον ἔσῃ, ὄρος Σηιρ, καὶ πᾶσα ἡ Ιδουμαία ἐξαναλωθήσεται· 15
καὶ γνώσῃ ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν.
1 Καὶ σύ, υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ τὰ ὄρη Ισραηλ καὶ 36
εἰπὸν τοῖς ὄρεσιν τοῦ Ισραηλ Ἀκούσατε λόγον κυρίου 2 Τάδε λέγει 2
κύριος κύριος Ἀνθ᾽ ὧν εἶπεν ὁ ἐχθρὸς ἐφ᾽ ὑμᾶς Εὖγε ἔρημα αἰώνια
εἰς κατάσχεσιν ἡμῖν ἐγενήθη, 3 διὰ τοῦτο προφήτευσον καὶ εἰπόν 3
Τάδε λέγει κύριος κύριος Ἀντὶ τοῦ ἀτιμασθῆναι ὑμᾶς καὶ μισηθῆναι
ὑμᾶς ὑπὸ τῶν κύκλῳ ὑμῶν τοῦ εἶναι ὑμᾶς εἰς κατάσχεσιν τοῖς
καταλοίποις ἔθνεσιν καὶ ἀνέβητε λάλημα γλώσσῃ καὶ εἰς ὀνείδισμα
ἔθνεσιν, 4 διὰ τοῦτο, ὄρη Ισραηλ, ἀκούσατε λόγον κυρίου Τάδε λέγει 4
κύριος τοῖς ὄρεσιν καὶ τοῖς βουνοῖς καὶ ταῖς φάραγξιν καὶ τοῖς
χειμάρροις καὶ τοῖς ἐξηρημωμένοις καὶ ἠφανισμένοις καὶ ταῖς πό-
λεσιν ταῖς ἐγκαταλελειμμέναις, αἳ ἐγένοντο εἰς προνομὴν καὶ εἰς
καταπάτημα τοῖς καταλειφθεῖσιν ἔθνεσιν περικύκλῳ· 5 διὰ τοῦτο 5
τάδε λέγει κύριος κύριος Εἰ μὴν ἐν πυρὶ θυμοῦ μου ἐλάλησα ἐπὶ
τὰ λοιπὰ ἔθνη καὶ ἐπὶ τὴν Ιδουμαίαν πᾶσαν, ὅτι ἔδωκαν τὴν γῆν
μου ἑαυτοῖς εἰς κατάσχεσιν μετ᾽ εὐφροσύνης ἀτιμάσαντες ψυχὰς
τοῦ ἀφανίσαι ἐν προνομῇ· 6 διὰ τοῦτο προφήτευσον ἐπὶ τὴν γῆν 6
τοῦ Ισραηλ καὶ εἰπὸν τοῖς ὄρεσιν καὶ τοῖς βουνοῖς καὶ ταῖς φά-
ραγξιν καὶ ταῖς νάπαις Τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐν τῷ ζήλῳ
μου καὶ ἐν τῷ θυμῷ μου ἐλάλησα ἀντὶ τοῦ ὀνειδισμοὺς ἐθνῶν
ἐνέγκαι ὑμᾶς· 7 διὰ τοῦτο ἐγὼ ἀρῶ τὴν χεῖρά μου ἐπὶ τὰ ἔθνη τὰ 7
περικύκλῳ ὑμῶν, οὗτοι τὴν ἀτιμίαν αὐτῶν λήμψονται· 8 ὑμῶν δέ, 8
ὄρη Ισραηλ, τὴν σταφυλὴν καὶ τὸν καρπὸν ὑμῶν καταφάγεται ὁ

11 κυριος Bpau.] + κυριος A: cf. 2 4 | σοι 1⁰] pr. εν A | σου] + και κατα τον ζηλον σου ον εποιησας εκ του μεμισηκεναι σε εν αυτοις A (in *O* sub ※) || 12 καταβρωμα] κατασχεσιν A*L*: ex 36 2. 3. 5. 12 || 13 εγω] pr. και A | fin.] + φησιν κυριος A || 14 ερημον ⌒ 15 ερημον A† || 15 εξαναλωθ.] εξολεθρευθ. A; pr. και B (B*† om. και seq.)

36 2 ων] ου B: cf. 26 2 | ευγε] + ευγε A || 3 κυριος κυριος (cf. 2 4)] + ο θεος A: cf. 14 6 | υπο] απο A | των κυκλω] pr. των εθνων Apl. | ανεβητε] εγενεσθαι(pro -θε) A | γλωσσης A | εις ult. > *C*† || 4 ταις φαραγξιν .. τοις χειμαρροις Bpau.] tr. rel. | τοις εξηρημ. και ηφαν.] ταις ναπαις ταις ερημωμεναις και ηφανισμεναις A: cf. 6 | εγκαταλελ.] εγ > A | αι] και BQ† | περικυκλω] pr. τοις A || 5 κυριος 2⁰ > A†: cf. 2 4 | την γην μου / εαυτοις] tr. A || 6 κυριος B†] pr. αδωναι A: item in 22, cf. 5 5 || 7 εγω] pr. ιδου A | αρω] αιρω A || 8 υμων 2⁰ > Apau. | καταφαγεται] κατα > A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/839 UNIVERSITÄT LEIPZIG